ἡμῖν ὑποβάλλει. Ὡσαύτως πάνυ σαφῶς ἀποδείκνυται, τὰ σώματα πάντα, καὶ τούτων χροιὰς, καὶ σχήματα, καὶ ἀποστάσεις, κτλ. ἐντὸς ἡμῶν καθορᾶσθαι. Οὐ μὴν ἀλλὰ καὶ τῶν φιλοσοφούντων οὐχ ἥκιστα εἰσί τινες, οἱ τῆς ἐκ τῶν αἰσθήσεων προλήψεως περὶ τούτου μόλις ἀπαλλαχθῆναι δυνάμενοι. Ὀρθῶς ἄρα παρῄνει Πλάτων ἐν τῷ φιλοσοφεῖν αἰσθήσεών τε καὶ φαντασίας χρῆναι ἀπέχεσθαι, τῶν ἀχλὺν ἐπιπασσουσῶν βαθεῖαν τῇ διανοίᾳ. Ἐξ οὗ καὶ τοὺς πάλαι καὶ νεωτέρους Ἐπικουρείους καὶ Στωϊκοὺς εἰκάσειέ τις ὅσον τοῦ ἀληθοῦς φιλοσοφοῦντες ἐκπίπτουσιν, οἱ ταῖς αἰσθήσεσι καὶ τῇ φαντασίᾳ, ἃς ἔχουσι γνώσεις, καταπιστεύοντες.

## ΚΕΦΑΛ. Α'.

## Περὶ φύσεως τῆς ψυχῆς.

### Πρότ. Α'.

„Ἐὰν ἡ ψυχὴ σῶμα ᾖ, ἢ σώματος ἴδιον, ποιότης, διάθεσις, οὐχὶ δ' „οὐσία τοῦ σώματος διακεκριμένη, ἡ τῶν ἰδεῶν παράστασις καὶ ἀντίληψις, ἥτε „κρίσις καὶ ὁ συλλογισμὸς, οὐκ ἄλλως ἂν γένοιντο, ἢ κινήμασι τῶν μερῶν τοῦ „σώματος, ἤτοι ἐνεργήσει τε καὶ ἀντενεργήσει τῶν ἰνῶν καὶ νευριδίων τῶν αἰ„σθήσεων καὶ τοῦ ἐγκεφάλου, ἢ γοῦν ἐνεργείᾳ ἑτέρου τινὸς οἱουδηποτοῦν ὑγροῦ.

### Σχόλιον.

Οὐδεμίαν γὰρ ἄλλην ἐνέργειαν ἴσμεν τῇ σωματικῇ φύσει προσιδιάζουσαν, οὐδ' ἂν δίκαιον τινὰ ἔλεγχον ὑποστaίημεν, εἰ ἐξ ὧν κοινῇ ἅπαντες ἔχουσιν ἰδεῶν φιλοσοφοῦμεν (αἴτ. Α'.) (1). Ἀλλὰ φασὶν ἀποφατικὸν εἶναι τοὐπιχείρημα, καὶ οὐδὲν ὑγιὲς ἐπιφέρειν. Πρὸς ὃ δὴ φαμὲν ἀποφατικὸν εἶναι τὸ ἐν ᾧ ὡς ἀρχὴ λαμβάνεται τὸ μηδόλως νοούμενον. Ἀλλ' ὅτι δὴ σωματικὴ πᾶσα ἐνέργεια ἐν κινήσει, καὶ μεταβολῇ τόπου, καὶ θέσεως, καὶ σχήματος, κτλ. ἔχει τὸ εἶναι, πᾶς τις ῥᾳδίως ἔχει νοῆσαι· ἐκ δὲ δὴ τούτου καὶ τὴν ἐνέργειαν τῆς ψυχῆς σωματικῆς τεθείσης κινήματι τινὶ περαίνεσθαι ὀρθῶς ἐπιφέρομεν. Ἃ δ' ἀνθυποφέρουσιν ἀγνοεῖσθαι ἡμῖν τὴν ἐνδόμυχον τοῦ σώματος φύσιν, μηδ' ἐξεῖναι παρὰ τὰς κινήσεις ἄλλην μηδεμίαν προσιδιάζειν τῷ σώματι λέγειν ἐνέργειαν, ὅ τι τε ὁ μαγνητισμὸς, ἤ φασι, καὶ ἡ Νευτώνειος ἕλκυσις, πολλῷ τῷ μέ-

(1) Ὅρα Ἐνρῖκον Μόρον Βιβλ. Β'. περὶ ἀθαν. ψυχ. Κεφ. Α'. καὶ πρόλ. §. ε'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τρῳ τῶν κοινῶν κινημάτων τουτωνὶ ἀπέχουσι, καί τοι σωμάτων οὖσαι ἀναμφισβητήτως ἐνέργειαι· καὶ ὅτι αἱ πρὸς κίνησιν ὁρμαί, ἃς νεκρὰς δυνάμεις οἱ φιλοσοφοῦντες καλοῦσιν, οὐδὲν ἧττον τῶν εἰρημένων σωματικῶν διαθέσεων διενηνόχασιν. Ἐπὶ τούτοις τε αἱ ζῶσαι δυνάμεις, ἃς εἰκότως ἀσωμάτους πρεσβεύομεν (μέρ. Α΄. Προτ. ιϛ΄.), οὐκ ἀλλότριοι τυγχάνουσι τῆς ἐνύλου φύσεως, ϗ εἶναι ἄρα παραπλησίως δυνατὸν ϗ τὴν νοητικὴν δύναμιν (ὥσπερ δὴ ϗ τὴν κινητικὴν ὁμολογοῦμεν) προσήκειν τῷ αὐτῷ ὑποκειμένῳ, ἀδιαφόρως ἔχοντι, ϗ ἐπίσης δεκτικῷ ὄντι ἀμφοτέρων, ϗ ἑτέρων τινῶν παρὰ ταύτης δυνάμεων, κἂν ἀκραιφνῶς συμβαλεῖν τῷ νῷ, καθὰ ϗ ἄλλοις πολλοῖς, τῷ πράγματι οὐ δυνάμεθα. Ἀλλὰ ταῦτα πάντα τοσούτου δεῖ τοῦ ϗ βραχὺ διασαλεῦσαι τὸ προτεθὲν ἐπὶ τῆς προτάσεως, ὅσῳ γε ϗ μᾶλλον διεμπεδοῖ ϗ στηρίζει. Τί γάρ ἐστιν, ὃ ἀπισχυρίζονται; ἐνεῖναι τυχὸν τῷ σώματι δύναμιν τινὰ (τὴν νοητικὴν δηλονότι), τῆς κινητικῆς δυνάμεως πράγματι διακεκριμένην; Πυνθάνομαι τοίνυν, πότερον ἡ δύναμις αὕτη περαίνει τὰς αὐτῆς ἐνεργείας κινήσεσι σωματικαῖς, ἢ ἄλλαις τισὶν ἑτερογενέσιν; Εἰ μὲν οὖν ἐκεῖνο, ἔχομεν ὅπερ θέλομεν. Εἰ δ᾽ οὖν τοῦτο, ἐπεὶ ἑτερογενεῖς εἰσιν ἐνέργειαι κίνησίς τε ϗ διανόησις, ὡς ἀλλήλων ἐσωτερικῶς μηδαμῶς ἀπηρτῆσθαι, ἔσονται δήπου καὶ αἱ δυνάμεις ἑτερογενεῖς, οὐδὲν ἔλαττον ἀμοιβαδὸν μὴ ἀπηρτημέναι. Ἀλλὰ αἱ οὕτως ἔχουσαι ἐνέργειαι, ἅτε δὴ οὐσιωδῶς διαφέρουσαι, ἐν τῷ αὐτῷ ὑποκειμένῳ συνυπάρχειν οὐδαμῶς πεφύκασιν. Ἆρ᾽ οὖν οὐδὲ αἱ δυνάμεις, ἐν τῇ αὐτῇ οὐσίᾳ ἁπλουστάτῃ πεφυκυίᾳ (μέρ. Α΄. Πρ. ΚΒ΄.), αἱ οὐσιωδῶς διαφέρουσαι, συνυποστήσονται. Αἱ πρώτισται ἄρα σωματικαὶ οὐσίαι ἐξ ἀμφοῖν τῶν δυνάμεων ἐκείνων οὐκ ἂν συσταῖεν. Δυοῖν δὲ θάτερον, ἢ κινήσεις ἐγκεφάλου ἔσονται αἱ διανοήσεις, σωματικῆς τεθείσης τῆς ψυχῆς, ἢ γοῦν εἰμή, ἀλλ᾽ ἐξ ἀνάγκης, ἐνέργειαι ἔσονται οὐσίας, οὐσίᾳ τῆς σωματικῆς δὴ ταύτης ϗ ἐνύλου διαφερούσης. Μηδὲ λεγέτωσαν θείᾳ ἰσχύϊ τοῦτο τελεῖσθαι. Τὴν γὰρ αὐτὴν οὐσίαν Α ἰδιώμασιν ὑπ᾽ ἀλλήλων ἀναιρουμένοις συγκροτεῖσθαι ἀδύνατον εἶναι ἐσωτερικῶς (ὅρ. η΄. μέρ. Α΄.) φθάσαν προαποδέδεικται· ὅτι δὲ αἱ δυνάμεις αὗται ἀμοιβαδὸν ἀναιροῦνται, κατωτέρω δειχθήσεται. Ἧπου μᾶλλον ἀκόλουθα τὰ τῶν πάλαι Ἐπικουρείων, ἢ τὰ τῶν νεωτέρων δὴ τούτων. Ἐκεῖνοι γὰρ πᾶσαν ἀσώματον οὐσίαν ἐκποδὼν ποιησάμενοι, σωματικὰς ϗ τὰς νοερὰς ἐνεργείας ἐπρέσβευον. Διὸ δὴ Λουκρέτιος ἐκ μορίων ἔφασκε τὴν ψυχὴν συγκεῖσθαι πάνυ λεπτῶν ϗ ὀξυκινήτων· καὶ Ὠββέσιος τὰς τῆς ψυχῆς ἐνεργείας, οἷον αἰσθήσεις τε ϗ διανοήσεις,

μόνη τῇ ἐνεργήσει τε ϗ ἀντενεργήσει τῇ πρὸς τὰ μέρη τῦ ἐγκεφάλυ τελεῖσθαι ὑπετίθετο (1).

## Πρότ. Β'.

„Οὐδὲ κρίσις, οὐδὲ συλλογισμὸς ὅλως τελεῖται, εἰμὴ πλειόνων κατὰ „τὸ αὐτὸ ἰδεῶν τῷ νῷ (ὅςις ἂν ϗ εἴη), ἤτοι τῇ ἀντιληπτικῇ δυνάμει, προ„βαλλομένων.

## Δεῖξις.

Κρίσις ἐςὶν ἀντίληψις τῆς ἐν δυσὶν, ἢ καὶ πλείοσιν ἰδέαις ἐγχωρέσης σχέσεως (ὁρ. δ'. ϗ ε'.). Σχέσιν δὲ ἔχειν ἐκ ἄν ποτε νοηθείη, εἰμὴ τὰ κατὰ τὸ αὐτὸ νοέμενα. Ἄρα ἐδὲ κρίσις, κτλ. Ἡ γῦν ἐλάσσων ϗ καθ' ἑαυτὴν δήλη. Ἔςωσαν γὰρ χρόνοι δύο Α, ϗ Β, ϗ παριςάσθω τῇ διανοίᾳ ἐν χρόνῳ μὲν τῷ Α παραλληλόγραμμον, ἐν χρόνῳ δὲ τῷ Β τετράγωνον. Σαφὲς ὖν ἐςι μὴ δύνασθαι ἔτω τὸν νῦν τὴν ἐν τέτοις τοῖς σχήμασι κατὰ ἰσότητα ἢ ἀνισότητα σχέσιν περινοεῖν. Οὐ γὰρ δηλονότι δυνήσεται ἐν τῷ χρόνῳ Α, ἐν ᾧ μόνον αὐτῷ πρόκειται νοεῖν τὸ παραλληλόγραμμον, τὸ δὲ τετράγωνον ἐδαμῶς· οὐδὲ μενῦν ἐν τῷ Β, ὅτε μόνον αὐτῷ παρίςαται τὸ τετράγωνον. Ἀλλ' οὐδὲ δήπε ἐν ἄλλῳ χρόνῳ, οἷον τῷ Γ, καθ' ὃν ἐδέτερον αὐτῷ προβάλλεται. Ἄρα ἐν κρίσεσι καὶ συλλογισμοῖς ἀνάγκη πᾶσα τὰς παρατιθεμένας ἰδέας τῷ νῷ συμπαρεῖναι.

## Πόρισμα.

Δέον δὲ συμπαρεῖναι, ἐφ' ὅσον ἂν ἡ τελεμένη κρίσις, ἢ ὁ συλλογισμὸς ζωηρῶς διαρκοίη.

## Πρότ. Γ.

„Εἴπερ αἱ νοεραὶ ἀντιλήψεις ἐγκεφάλε κινήσεις τινὲς εἰσὶ, δεῖ δὴ τοσαύ„τας τῷ ἐγκεφάλῳ διακεκριμένας ἐμποιεῖσθαι κινήσεις, ὁπόσαι ἡμῖν διακεκρι„μέναι τε ϗ διαφέρεσαι ἰδέαι παριςάνονται.

## Δεῖξις.

Ἐν γὰρ τῇ τοιαύτῃ ὑποθέσει ὁ ἀποχρῶν λόγος τῆς παραςάσεως οἱασῦν ἰδέας, ἢ φαντάσματος, ἐν τῇ ἐνεργείᾳ κεῖται τῶν ἔξωθεν ἀντικειμένων τῇ πρὸς τὰ ἐντὸς, ϗ τῇ ἀντενεργήσει τῦ ἐγκεφάλε πρὸς τὰ ἐκτὸς (διὰ τὴν Πρ. Α'.).

(1) Στοιχ. τῆς Φιλοσοφ. Κεφ. ΚΕ'. Ἄρθ. Β'. §. β'. ϗ η'. Καὶ ἐν τῷ Λεβιαθὰν Κεφ. Γ'. καὶ Βιβλ. περὶ ἀνθρώπε.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ... ΙΩΑΝΝΙΝΑ 2006

Ἀμφότεραι δὲ, ἥτε ἔξω φημὶ ἐνέργεια καὶ ἐνδοτέρα ἀντενέργησις, ὄντα εἰσὶ τῶν καθ' ἕκαστον, ὡς δῆλον. Τῶν δὲ δὴ καθ' ἕκαστον φύσις, τὸ θάτερον ἐν θατέρῳ μηδαμῶς περιέχεσθαι. Μία τις ἄρα ὁλοσχερὴς κίνησις, ἔκ τε ἐνεργείας συνεστηκυῖα καὶ ἀντενεργήσεως, μιᾶς τινος καὶ μόνης ἰδέας καθ' ἕκαστον τὸν λόγον ἂν περιέχοι τὸν ἀποχρῶντα. Ἀλλ' ἑκάστη ἰδέα ἕν τι καθ' ἕκαστον παρίστησι τῶν νοητῶν, πλείονα δὲ οὐκ ἂν ἔχοι (μέρ. Α'. Πρ. ΝΗ'.). Εἴπερ ἄρα αἱ ἰδέαι κινήσεις εἰσὶ τοῦ ἐγκεφάλου, δέον κτλ.

## Σχόλιον.

Οἷον εἴτις τοὺς χορδῆς τόνους παλμοὺς εἶναι βούλοιτο τῆς νευρᾶς, οὗτος δήπου οὐκ ἂν ἄλλως ἀναπτύξειε τοὺς τόνους Α, Β, Γ, Δ, εἰμὴ διακεκριμένους τινὰς, καὶ διαφέροντας παλμοὺς Π, Ρ, Σ, Τ, εἶναι ὑποτιθέμενος. Ἀηδῶς δ' ἂν καὶ κούφως πάνυ διϊσχυρίζοιτο, τῷ αὐτῷ παλμῷ Π διακεκριμένους τε καὶ διαφέροντας τόνους τοὺς Α, Β, Γ, Δ, ἠχεῖσθαι. Παραπλησίως, εἴπερ αἱ ἰδέαι εἰσὶ τὰ ἀνακύπτοντα ἐκ τῆς συμβολῆς τῆς ἐνεργείας τε καὶ ἀντενεργήσεως, ὡς ὑπείληφεν Ὠ'ββέσιος, ὁπόσαι ἡμῖν αἱ διακεκριμέναι ἀλλήλων καὶ διαφέρουσαι ἰδέαι παρίστανται, τοσαῦται ἀναμφισβητήτως αἱ τῷ μορίῳ τοῦ ἐγκεφάλου ἐνεγειρόμεναι συμβολαὶ κατ' ἐνέργειάν τε καὶ ἀντενέργησιν ἔσονται. Κἄν τε ἡ ἰδέα τεθῇ μόνη ἐνέργεια οὖσα ἡ ἐπὶ τὰ ἐντὸς, ἤτοι ἡ ἀπὸ τοῦ ἐκτὸς ἀντικειμένου ἐπὶ τὰ ἐντὸς ἐμποιουμένη τῷ ἐγκεφάλῳ προσβολὴ, ἢ γοῦν μόνη ἡ ἐπὶ τὰ ἐκτὸς ἀντενέργησις, εἶεν ἂν παραπλησίως τοσαῦται ἐνέργειαι, ἢ ἀντενεργήσεις, ὅσαι καὶ αἱ ἰδέαι.

## Πόρισμα.

Δέον δὲ τὰς τοιαύτας κινήσεις ἐπὶ τοσοῦτῳ διαρκεῖν ἐν τῷ ἐγκεφάλῳ, ἐφ' ὅσῳ τῷ νῷ ζωηρῶς αἱ ἰδέαι περινοούμεναι πρόκεινται.

## Πρότ. Δ'.

„Αἱ σωματικαὶ κινήσεις οὐκ ἂν γένοιντο ποτὲ ἐν ἀδιαιρέτῳ τῆς ὕλης, „οὐδὲ μὲν οὖν οὕτως ἂν ἀναφύοιντο αἱ ἰδέαι κατὰ Ὠ'ββέσιον.

## Δεῖξις.

Κίνησις ἐστὶν ἐνέργεια, καθ' ἣν τὸ ὂν ἐκ τόπου ἐξωτερικοῦ εἰς τόπον ἐξωτερικὸν μεθίσταται (μέρ. Α'. ὅρ. ξε'.). Ἄρα ἐν ἀδιαιρέτῳ τοῦ διαστήματος, ἢ τῆς ὕλης οὐκ ἂν τελεσθείη ποτέ.

Εἶτα αἱ κατὰ Ὠ'ββέσιον ἰδέαι κατὰ συμβολὴν τελοῦνται ἐνεργείας τε καὶ

Ε.Υ.Δ. ΤΗΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀντενεργήσεως (Πρ. Α'.), καὶ σωματικαί τινες κινήσεις εἰσὶν, ἢ γοῦν ἴχνη τὰ ἐκ τούτων ἀναφυόμενα. Ἐπεὶ δέ τοι αἱ κινήσεις ἐν ἀδιαιρέτῳ τῆς ὕλης οὐκ ἄν ποτε γένοιντο (διὰ τὰ Α'. μέρ.). Ἄρα οὐδὲ τὰ ἐκ τούτων ἀνακύπτοντα φαντάσματα. Τοῦτο δὲ διεξοδικῶς ἀποδέδεικται καὶ Ἐνρίκῳ τῷ Μόρῳ (1).

## Σχόλιον.

Οὐδὲν οὖν ὀνίνησι τὸ λέγειν τὰς διαφόρους τῶν ἀντικειμένων παραστάσεις μὴ διαφερούσαις τελεῖσθαι κινήσεσιν, ἀλλ' ὁρμαῖς διαφόροις πρὸς κίνησιν· εἶτα καὶ μὴ κατὰ τὸ αὐτὸ τὰς ὁρμὰς γίγνεσθαι, ἀλλὰ κατὰ διαδοχὴν, ἀλλ' ἐν πάνυ βραχυτάτῳ χρόνου διαστήματι, ὡς ἐν ἀκαρεῖ δοκεῖν, καὶ τοῦτο πιθανὸν εἶναι τὸ τοῦ φωτὸς ἀναλογιζομένοις θαυμάσιον τάχος. Πάντη ἀηδῆ τὰ λεγόμενα. Α'. γὰρ ἡ πρὸς κίνησιν ὁρμὴ ἀντενέργησίς τις τυγχάνει οὖσα· πᾶσα δὲ σωματικὴ ἀντενέργησις, καίτοι ἐν βραχυτάτῳ, ἀεὶ γεμὴν τελεῖται ἐν διαστήματι. Εἶτα καὶ κίνησις κἂν ὅτι ταχίστη, ἀλλ' ἐν ἀδιαιρέτῳ οὐδέποτ' ἀνύεται (μέρ. Α'. Πρ. Ρ'.). Ἐν διαιρετοῖς ἄρα χρόνου μέρεσιν αἱ κατὰ διαδοχὴν κινήσεις συμβαίνουσιν, οὐδὲ συνυπάρχουσι· συνυπάρχουσι δὲ αἱ ἰδέαι. Εἴπερ ἄρα κινήσεις αὗται εἰσὶν, ἐν ἀδιαιρέτῳ τελεῖσθαι οὐ πεφύκασι.

## Πρότ. Ε'.

„Ἡ ἐν τῷ ἁπλῶς ἐπιβάλλειν τῷ νοητῷ, ἢ κρίνειν, ἢ συλλογίζεσθαι, „ἐνδοτέρα συνείδησις, ἀντίληψις ἐστὶν ἀντιλήψεως, κρίσεως, ἢ συλλογισμοῦ. „Ἐὰν οὖν αἱ ἀντιλήψεις, καὶ κρίσεις, καὶ οἱ συλλογισμοὶ, κινήσεις ὦσι, καὶ οὐδὲν „ἕτερον, ἡ συνείδησις κίνησις ἔσται καὶ αὐτὴ ἐκείνων διακεκριμένη. Οἷον τὸ ἁ„πλῶς νοεῖν τὸ φῶς, καὶ συνειδέναι ἑαυτῷ νοοῦντι, ὅτι ἁπλῶς τῷ νοηθέντι φωτὶ „ἐπέβαλεν, ἥτις προσοχὴ λέγεται ἡ πρὸς τὴν ἀντίληψιν· καὶ τὸ νοεῖν τὴν „ἰσότητα τῶν πηλικοτήτων Π καὶ Ρ, καὶ τὸ συνειδέναι ἑαυτῷ τὴν νόησιν ταύ„την, πάντη ἀλλήλων εἰσὶ διαφέροντα. Τοιγαροῦν ἑκάτερον τῇ αὐτῇ κινήσει „καὶ συμβολῇ οὐκ ἀποτελεῖται· οὐδὲ γὰρ δυνατὸν τὴν αὐτὴν κίνησιν Α τὸν „λόγον καὶ τῆς ἰδέας περιέχειν, καὶ τῆς πρὸς τὴν ἰδέαν συνειδήσεως.

## Πρότ. ς'.

„Ἡ τῶν ἰδεῶν παράθεσις, καθ' ἣν αἱ κρίσεις καὶ οἱ συλλογισμοὶ τελοῦ„νται, διαφέρον τι τυγχάνει τῶν ἰδεῶν αὐτῶν τῶν παρατιθεμένων. Ἀμέλει„τοι ἄλλο ἐστὶ νοῆσαι Γ, ἢ Δ, ἄλλο δὲ ἀλλήλοις ταῦτα παραθέσθαι τὰ δύο.

(1) Περὶ ἀθαν. ψυχ. Βιβλ. Β. Κεφ. Α'. Ἀξ. ΚΔ.

Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

„ Οἷον δὲ ὀπῆς θυρίδος ἐν ἀφώτῳ καταγωγίῳ διϊέσης ἀκτῖνος, καὶ πίνακι λευ-
„ κῷ ὑπαντιάζοντι παντοῖα τῶν ἔξω ἐπεικονιζούσης εἰκάσματα, οὐδεὶς οὕτω
„ τὰς φρένας ἀμβλὺς ἂν γένοιτο, ὃς μὴ συνίησι τῇ αὐτῇ ἐνεργείᾳ, ᾗπερ κα-
„ ταγράφονται ἐπὶ τοῦ πίνακος αἱ εἰκόνες, μὴ ἐξεῖναι καὶ ἀλλήλαις συμπαρα-
„ τίθεσθαι, ὡς ἄλλην ὑπ᾽ ἄλλης καταμετρεῖσθαι. Προσαπαιτεῖται ἄρα πρὸς
„ τοῦτο ἐνέργειά τις ἄλλη τῶν αἷς αἱ εἰκόνες σκιαγραφοῦνται διαφέρουσα.

## Πρότ. Ζ΄.

„ Ἡ κατὰ τὰς διανοήσεις ἐνδοτέρα συνείδησις οὐκ ἂν εἴη σωματικὴ κίνησις.

### Δεῖξις.

Εἰ γάρ, ἢ προσβολή τις ἐστίν, ἢ ἀντεμβολή τις καὶ ἀντενέργησις, ἢ γοῦν τὸ ἐκ τούτων ἀναθορεῦν ἕτερον, ἢ τέως τῆς συμβολῆς ταυτηστὶν ἐπανάκαμψις. Ἀλλ᾽ οὐκ ἔστιν ἐκεῖνα, ὡς ἐξ ὧν ἡ διανόησις συνίσταται (Σχόλ. Α΄. Πρ.), ἧς ἡ συνείδησις πάντῃ ἕτερον (Πρ. Ε΄.)· οὐδὲ μὲν οὖν τὸ ἔσχατον. Ἡ γὰρ τῆς προτέρας συμβολῆς ἐπανάκαμψις συμβολὴ ἑτέρα καὶ αὕτη, ᾗπου φανερόν, ἐκτελεῖται. Ἡ δὲ δὴ δευτέρα συμβολὴ αὕτη, ἢ κίνησις ἐστὶ πράγματι διακεκριμένη τῆς προτέρας, παραπλησία δὲ ἐκείνῃ, ἢ οὐκ ἔστιν. Εἰ γοῦν ἐκεῖνο, δύο ἔσονται διακεκριμέναι ἀντιλήψεις τοῦ αὐτοῦ νοητοῦ, καὶ οὐχὶ ἀντίληψις ἀντιλήψεως· καὶ γὰρ ἡ δευτέρα τῇ Α΄. ὁμοιοτάτη τυγχάνει οὖσα, κἀκείνην οὐδαμῶς περιέχει, μὴ τῶν καθ᾽ ἕκαστον ὑπ᾽ ἀλλήλων περιεχομένων, οἷα δὴ καὶ ἡ ἠχὼ ἦχος τυγχάνει ἕτερος ὤν, τῷ πρώτῳ παραπλήσιος, καὶ οὐχὶ προσοχὴ τοῦ προτέρου καὶ ἐπενθύμησις, ἦτε ἀντανάκλασις τινὸς τῶν ἐν τῇ ϛ΄. Προτ. εἰρημένων εἰκόνων εἰκὼν ἐστὶ παραπλησία, ἀλλ᾽ οὐχὶ προσοχὴ ἐπὶ τῆς προτέρας. Εἰ δὲ τὸ ἕτερον, οὐδὲν ἄμεινον, εἰμὴ καὶ χεῖρον διὰ τῆς δευτέρας ταύτης συμβολῆς ἡ ἐπισυμβαίνουσα προσοχὴ καὶ συνείδησις ἕξει ἀναπτυχθῆναι.

Παρὰ ταῦτα εἰ δευτέρα τις ἐστὶ συμβολὴ ἡ συνείδησις, ἢ καθ᾽ ὃν καὶ ἡ πρώτη τελεῖται χρόνον, ἢ γοῦν ἐν ἄλλῳ. Οὐκ ἔστι δὲ τὸ δεύτερον· τῇ γὰρ ἀντιλήψει ἡ συνείδησις συνυπάρχει· τὸ ἄρα πρότερον εἴποις ἄν. Εἰ γοῦν τοῦτο, ἢ ἐν τῷ αὐτῷ μέρει, ἔνθα καὶ ἡ προτέρα τελεῖται, ἢ γοῦν ἐν ἄλλῳ. Ἀλλὰ γὰρ τὸν αὐτὸν χρόνον ἐν τῷ αὐτῷ μέρει τῆς ὕλης συμβολὰς δύο, καίτοι παραπλησίας, διακεκριμένας γεμὴν ἀλλήλων τελεῖσθαι οὐ δυνατόν. Ἐὰν δὲ ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ, ἢ μέρει, δύο ἔσονται τὰ φαντάσματα, καὶ οὐχ ἕν. Οὐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

ἄρα θάτερον τῆς προτέρας ἀντιλήψεως τυγχάνει συνείδησις, ἀλλὰ φάντασμα τῷ μὲν προτέρῳ παραπλήσιον, ἐκείνη δὲ διακεκριμένον.

## Πρότ. Η'.

„Η' κρίσις ὐκ ἔςι κίνησις σωματική.

## Δεῖξις.

Κρίσις ἐςὶν ἰδεῶν πλειόνων ϗ τῆς ἐν αὐταῖς σχέσεως ἀντίληψις (ὁρ. δ'.)· ἡ δὲ ἀντίληψις καὶ ἡ παράθεσις τῶν παρατιθεμένων ἐςὶν ἕτερον (Πρ. ς'.). Ε'πεὶ δὲ ἑκάςη ἀντίληψις ἐκ μιᾶς τινος συμβολῆς ἔχει λαβῦσα τὸ εἶναι, εἰ κίνησις τῦτο ἐςὶ (Πρ. Γ'.), δεῖ δὴ ϗ τὴν παράθεσιν κίνησιν εἶναι τινὰ, ϗ τὴν κατ' αὐτὴν συμβολὴν πράγματι διακεκριμένην τῶν ἰδεῶν τῶν παρατιθεμένων, ἤτοι τῶν ἄλλων συμβολῶν, καθ' ἃς αἱ παρατιθέμεναι ἰδέαι τελῦνται. Οἷον ἔςωσαν ἰδέαι δύο παρατιθέμεναι αἱ Α ϗ Β, ἡ δὲ παράθεσις Γ. Καὶ ἔσονται ἄρα συμβολαὶ τρεῖς Α, Β, Γ, πράγματι ἀλλήλων διακεκριμέναι· ἔνθεντοι ϗ τρία καθ' ἕκαςον, ἤτοι ἄτομα. Εἰ γῦν ταῦτα κινήσεις εἰσὶν, αὗται ἐν ἀδιαιρέτῳ πάντως τῦ ἐγκεφάλυ ὐ γενήσονται (Πρ. Δ'.), ὐδὲ δῆθεν ἐν διῃρημένοις χρόνοις (Πρ. Β'.), καίτοι βραχυτάτοις, ϗ ὡς τάχιςα διατρέχυσιν (Σχόλ. Πρ. Δ'.), ἀλλ' ἔσονται Α, Β, Γ ἐν τῷ αὐτῷ τόπῳ ϗ χρόνῳ. Ε'πεὶ δὲ ὕτω ϗ τόπῳ ϗ χρόνῳ κατὰ τὸ αὐτὸ συνυπάρχυσιν, ἢ συνδιαχωρῦνται ὅλως, ἢ μή. Εἰ μὲν οὖν ἐκεῖνο, μία δὴ ϗ ἡ αὐτὴ συμβολὴ ἔσονται· ἡ δὲ ὐκ ἂν περιέχοι τὸν ἀποχρῶντα λόγον ἰδεῶν πλειόνων (Πρ. Γ'.). Εἰ δὲ δὴ τὸ δεύτερον, ὐδαμῶς συνυπάρξυσι κατὰ τὸ αὐτὸ τῦ τόπυ, ἑτέρας ἐκτὸς τῆς ἑτέρας κειμένης. Ε'πάναγκες τοίνυν ἐςὶ συνυπάρχειν μὲν κατὰ τὸ αὐτὸ τῦ χρόνυ, ὐχὶ δὲ κατὰ τὸ αὐτὸ μέρος τῦ ἐγκεφάλυ. Α'λλ' ὕτως ἡ ἑτέρα τὴν ἑτέραν ὐδαμῶς περιέχει, ἀλλ' ἑαυτὴν, ὥσπυ δῆλον· οὐδ' ἄρα ἡ ἑτέρα τὴν ἑτέραν παρίςησι· καὶ ἔςαι ἄρα τρία μᾶλλον φαντάσματα, ἢ δύο τινῶν παράθεσις· οὐδὲ κρίσις ἄρα. Οὐδένα τρόπον ἄρα εἴη ἂν ἡ κρίσις σωματικὴ κίνησις. Ο. Ε. Δ.

## Πόρισμα.

Η'γινομένη περί τι θεωρία, τοιγαρῦν ϗ σκέψις, ϗ εἰκασία, ϗ συλλογισμὸς, ὐκ ἄκρατοι εἰσὶ κινήσεις τῷ ἐγκεφάλῳ ἐνεγειρόμεναι, ὐδὲ συμβολαί τινες ἐξ ἐνεργείας τε ϗ ἀντενεργήσεως ἀνακύπτυσαι. Ε'ν ἅπασι γὰρ τύτοις ἐγχωρεῖ κρίσις, ἤτοι ἰδεῶν παράθεσις, ἡ ἐν μόνῃ τῇ κατὰ τὸν ἐγκέφαλον κινήσει τὸ εἶναι μηδαμῶς ἔχυσα (Πρ. Η'.).

## Σχόλιον.

Πάνυ καλῶς περὶ τούτου τῷ Ἀριστοτέλει πεφιλοσόφηται ἐν τῷ περὶ ψυχῆς Α'. Καίτοι γὰρ ἐκεῖνος συνημμένην ἀείποτε σωματικῇ τινι κινήσει πᾶσαν διανόησιν βούλεται, τὰς γεμὴν ἐνεργείας τῆς ψυχῆς τῶν ἰδιαζόντων τοῖς σώμασι κινημάτων πάντη ἀπηλλαγμένας εἶναι οὕτως ἀκριβῶς καὶ σοφῶς ἀποδείκνυσιν, ὡς οὐδεὶς ἕτερος. Καὶ ἃ δὲ Αὐγουστῖνος ὁ θεῖος ἐν τοῖς αὐτοῦ συγγράμμασι περὶ αὐτοῦ παρήνεγκεν, ὡς πλείστου λόγου καὶ ταῦτα ἄξια. Α'. γὰρ αἴσθησις, φησὶ, καὶ φαντασία ἀπατᾶσθαι πεφύκασι, ῥάβδου ἡμιβαφοῦς ἐν ὕδατι κεκλᾶσθαι δοκούσης. Ὁ δὲ λόγος τὴν ἀπάτην ἀνακαλύπτει· ὤφειλε δὲ ἐκεῖνο αὐτὸ κρίνειν ὁ νοῦς, εἰ μηδὲν ἄλλο ἡ κρίσις ἦν παρὰ τὴν τῷ ἐγκεφάλῳ ἐνεγειρομένην συμβολήν τε καὶ κίνησιν, ἣ γοῦν ἔδει συνδιαῤῥυθμίζειν καὶ ἀπιθύνειν ἑαυτῇ τὴν διανόησιν καὶ τὸ φάντασμα (1). Β'. Αἱ περὶ τὰ ἀφῃρημένα τῆς ὕλης ἐπιφοραί τε καὶ κρίσεις τίνα δὴ τρόπον ταῖς κατὰ τὸν ἐγκέφαλον κινήσεσιν ὅλως ἀναπτυχθεῖεν; Εἰ γὰρ τυχὸν πιθανόν τι φαίη τις εἶναι τὰ φαντάσματα οὕτω τελεῖσθαι, οἷον τὸ τριγώνου, τὸ τετραγώνου, τὸ ὀρθογωνίου, κτ:, οἱονεί τινα κατὰ τὴν τοῦ φωτὸς ἐπὶ πίνακος προσβολὴν ἀπεικάσματα, ἀλλὰ μὴ ταῖς παραπλησίαις κινήσεσιν ἀναθείη τις καὶ τὰς νοήσεις, αἷς τὰς τριγώνου φέρ' εἰπεῖν τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι ἀναλογιζόμεθα; καὶ τὰς τῶν τετραγώνων, ἢ ὀρθογωνίων, καὶ τῶν ἄλλων τῶν εὐθυγράμμων ἰσότητας; καὶ τὰς διαφορὰς τῶν πηλικοτήτων δὴ τούτων, καὶ ἀριθμῶν πάθη, καὶ λόγους, ἃς μακραῖς ἀποφάνσεων καὶ ἀκολουθιῶν σειραῖς ἐνθυμούμεθα; Πάντως εἰ τὰ σωματικὰ σωματικοῖς ὀφθαλμοῖς καθορᾶται, ἀνάγκη πᾶσα καὶ τὴν ψυχὴν, ᾗ τὰ ἀσώματα ἐποπτάνεται, εἶναι ἀσώματον (2). Γ'. Ἡνίκα κλῆσιν τινὸς, φέρ' εἰπεῖν τὴν τοῦ φύντος τὸν μακεδόνα Ἀλέξανδρον, ἐξεῤῥυηκυῖαν μου τῆς μνήμης, ἀναπυνθάνομαι, ἀναμνῆσαι πειρωμένου τινὸς καὶ Περδίκκαν, Λυσίμαχον, Σέλευκον, Ἀντίοχον ὑποβάλλοντος, οὐκ ἀποδέχομαι τῶν ὀνομάτων τὰ προσφερόμενα, οὐδ' ἐπιγινώσκω τὸ ζητούμενον, ἕως οὗ τὸν Φίλιππον ὑποθήσει. Τίς οὖν ἐστιν ὁ τὰς κλήσεις παρατιθέμενος; Τίς ὁ ἐκεῖνα μὲν μὴ δοκιμάζων, τοῦτο δὲ ἀσπαζόμενος; Πόθεν δὲ ἡ τοῦ ἀληθοῦς συνείδησις ἀναφύεται; Μήτι γε ἀλλήλαις προσηνῶς ὁμιλοῦσιν αἱ συμβολαὶ ἐκεῖναι, καὶ ἐπιγνῶναι ἀλλήλας σπεύδουσι (3); Τῷ

(1) Βιβλ. Β'. μονολογ. Κεφ. Γ'.

(2) Βιβλ. Β'. μονολ. Κεφ. ΙΘ'. Καὶ περὶ πηλικ. ψυχ. ἀπὸ τοῦ Δ'. μέχρι τοῦ ΙΓ'. Κεφ.

(3) Αὐτόθι Κεφ. Κ'.



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ. ... ΙΩΑΝΝΙΝΑ 2006

ὄντι κἂν μετρίᾳ τις προσοχῇ ταῖς γε μνήμαις καὶ ἀναμνήσεσι χρήσαιτο, χαλεπὸν οὐχ ὅπως εἴσεται τὴν αὐτῶν διὰ τῶν σωματικῶν κινημάτων ἀνάπτυξιν, ἀλλὰ καὶ πάντῃ ἀδύνατον (1). Δʹ. Καλείσθω μὲν ὁ κυνίσκος βλίτυρι, ἐκφερέτω δέ τις τὴν φωνήν. Αὐτίκα οὖν ἐμοὶ μὲν εἶναί τι ζῶον οὕτω καλούμενον εἴσομαι, τοῖς δὲ ἄλλοις οὐδαμῶς. Τίς οὖν ταῦτα διέκρινεν; ἢ πῶς διὰ τῆς αὐτῆς συμβολῆς ἰδέαι οὕτω διαφέρουσαι τοῦ τε κυνὸς, καὶ τοῦ μηδενὸς τῇ ψυχῇ ἐνεγείρονται (2); Ἀλλὰ πλείω παρενεγκεῖν εἰς δεῖξιν τοῦ προκειμένου περιττὸν ἴσως. Καὶ Λουκρέτιος αὐτὸς, καί τοι δεινῶς Ἐπικούρειος, ἐπεὶ συνεῖδεν ὅλως ἀμήχανον εἶναι διὰ τῶν γνωρίμων ἡμῖν σωμάτων τὰς διανοήσεις τῆς ψυχῆς ἀναπτύξαι, τετάρτην τινὰ ἐπὶ τούτῳ εἰσενεγκεῖν ἔγνω φύσιν, ἥ περ οὐδὲ κλῆσιν ὅλως ἐπιθέσθαι τετόλμηκε (ea est omnino nominis expers) (3), τῷ καθηγεμόνι παρηκολουθηκὼς Ἐπικούρῳ, τῷ τὴν ψυχὴν ἐκ τετάρτου τινὸς ἀκατονομάστου, ὃ ἦν αὐτῷ αἰσθητικὸν, ὑποτιθεμένῳ (4). Τί δὲ εἰ καὶ Ὠββέσιος αὐτὸς ὁ νεώτερος Ἐπικούρειος, ὁ σωματικοῖς κινήμασιν ἀνατιθέμενος τὰς νοήσεις, παλινῳδίαν οἱονεί τινα ἔοικεν ᾆσαι (5), ἐν οἷς φησὶ, τίς ποτε ὅλως ἀναπεισθείη, τῇ τῶν ἐκτὸς ἀντικειμένων κινήσει, οὐχ ὅπως κίνησίν τινα, ἀλλὰ καὶ νοερὰν ἀντίληψιν παράγεσθαι; Οὕτω καὶ πρὸς ἑαυτὸ τὸ ψεῦδος πέφυκε τὰ πολλὰ διαμάχεσθαι.

## Πρότ. Θʹ.

„Οὐκ ἔστιν ἡ ἀνθρώπου ψυχὴ κρᾶμα φύσεως σωματικῆς, δι' οὗ ζῶμεν καὶ „αἰσθανόμεθα, ὡς ὑπείληφεν ὁ Δικαίαρχος.

## Δεῖξις.

Εἰ γὰρ ἦν, ἦσαν ἂν καὶ αἱ ταύτης λογικαὶ ἐνέργειαι κινήσεις τινὲς τῶν σωματικῶν, ἀλλ' οὐκ ἔστιν (Πρ. Ζʹ. καὶ Ηʹ.). Ἢ γοῦν ἐὰν τεθῶσιν, ὥσπερ δὴ καὶ εἰσὶν ἐνέργειαι ἑτερογενεῖς αὗται, ἔσται δὴ καὶ ἡ προβαλλομένη ταύτας οὐσία μακρῷ διαφέρουσα τῆς τοῦ σώματος, καὶ καθ' ἑαυτὴν ὑφεστῶσα.

## Σχόλιον.

Ἦν ὁ Δικαίαρχος οὗτος μεμαθητευκὼς παρ' Ἀριστοτέλει, καὶ οὕτω δόξης

(1) *Ὅρα τὸν Μῶρον περὶ ἀθαν. ψυχ. Κεφ. Βʹ. Βιβλ. Βʹ.*
(2) *Περὶ τηλικ. ψυχ. Κεφ. ΚΒʹ.*
(3) *Βιβλ. Γʹ. ἔπει* 239.
(4) *Παρὰ Πλουτ. περὶ τῶν Ἀρεσ. Βιβλ. Δʹ. Κεφ. Γʹ.*
(5) *Ἐν τῷ Λεβιαθάν. Σελ. γʹ.*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ τῆς ψυχῆς ἐσχηκώς (ὅρα Κικέρ. Βιβλ. Α΄. τῶν Τυσκυλ. ζητ.), ὐκ ὀρθῶς δήπυθεν τῷ Πλυτάρχῳ τοῖς ἀθάνατον διεπρεσβευκόσι συγκαταλέγεται (1).

## Π ρ ό τ. Ι΄.

„Τὸ κινητὸν εἶναι καθ᾿ ἕκαςα τὰ μέρη ϗ διαιρετὸν, ἥτε ςερεότης καὶ „ ἀδρανία, ἴδια εἰσὶν οὐσιωδῶς προσόντα ἅπαντι σώματι.

## Δεῖξις.

Ἅπαν σῶμα φύσει διαιρετὸν τυγχάνει ἄχρι τῶν ἀδιαιρέτων ςοιχείων, ᾗπερ ἐκτέταται· διαιρετὸν δ᾿ οὐκ ἂν εἴη, εἰμήπυ καὶ κινητὸν, ὥς γε δῆλον. Ἄρα τὸ κινητὸν, κτ:. Περὶ ὖ ἀμφισβητεῖν ὐ δέον δι᾿ αἴτ. α΄. ϗ β΄. Ο. Η. τὸ Α΄.

Στερεότης δὲ τῷ σώματι ἐςὶν, ᾗ ἀντέχει μέρος μέρει ἀδιαχώρητον καθεςὸς, ὑδ᾿ ἐκείνῳ συνεντοπιζόμενον (ὁρ. νζ. μέρ. Α΄.). Ὅτι δὲ ϗ τῦτο παντὶ μέρει προσιδιάζει τῦ σώματος, πεῖρα δείκνυσι, ϗ ὁ λόγος, ὃς ὐκ ἂν ἐξίκοιτό ποτε τύτυ ἄνευ τῦ πάθυς φύσεως ἐπιδράξαςθαι σώματος. Ἐφ᾿ οἷς ϗ τύτῳ ἀρθέντι συνήρθη ϗ κίνησις πᾶσα ἀπὸ τῆς σωματικῆς φύσεως, ϗ ἐν σημείῳ γεωμετρικῷ συνεςάλη ἂν ἐξυδενωθεῖσα ϗ συνδιαχωρηθεῖσα, ὡς δῆλον, ἡ τῦ σώματος ἔκτασις. Ο. Η. τὸ Β΄.

Ἀδρανίαν δὲ καλῦμεν σὺν Νεύτωνι (2) δύναμιν ἔμφυτον τῇ ὕλῃ, καθ᾿ ἣν ἅπαν σῶμα, ὅσον τὸ ἐπ᾿ αὐτῷ, διαρκεῖ ἐν τῇ καταςάσει τῦ ἠρεμεῖν, ἢ κινεῖσθαι, ἐν ᾗ τέτακται, ἧς καὶ ἅπαξ ἤδη ἠρεμήσεως, ἢ κινήσεως μετειληχὸς, δυσχερὸς πως ἀπάγεται. Τῦτο δὲ τὸ πάθος προσήκειν τῇ ἐνύλῳ οὐσίᾳ ϗ πεῖρα ἀμφιλαφὴς διαπιςῦται, ϗ πολλοὶ τῶν νεωτέρων Φιλοσόφων ἀποδεδείχασιν (3). Ο. Η. τὸ Γ΄.

## Σχόλιον.

Ἡ τῆς ὕλης πρὸς διαίρεσιν ϗ κίνησιν δεξιότης, καὶ μὴν ϗ ἡ ἀδρανία, πολλοῖς τῶν φιλοσοφύντων εὖ οἶδ᾿ ὅτι ἐν ἀμφισβιτησίμοις ἐτάχθη. Ἀριςοτέλει μὲν οὖν πρὸ πάντων, τὴν τῦ παντὸς ὕλην μίαν τεθεῖσθαι, ἀπέραντον, ἀκίνητον, ϗ ἀδιαίρετον, ϗ τύτῳ δὴ συνᾷσαι τὺς Ἄραβας, δῆλον. Καὶ Σπινόζας δὲ ἀδιαίρετον τὴν σωματικὴν οὐσίαν ᾠήθη ἀποδεδειχέναι (4), τοῖς ὑποφέρυ-

(1) Περὶ Ἀρεσ. Βιβλ. Δ.

(2) Ἀρχ. Μαθημ. φιλ. Φυσ. ὁρ. γ΄.

(3) Μυσχεμβροέκ. Στοιχ. Φυσ. §. 53. — §. 63.

(4) Μέρ. Α. Πρ. ΙΓ. Πόρ.



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΣΗ: ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΥΠΕΥΘΥΝΟΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σι τὴν τῶν σωμάτων τομὴν ἁπάντων ταῦτα νοεραῖς ἀκράτοις ἐπιβολαῖς θεωρούμενα, κατὰ τὴν οὐσίαν δηλαδή, διαιρέσεως εἶναι κρείττονα, διαιρετὰ δὲ δοκεῖν φανταστικοῖς ἰνδάλμασιν ἐξεικονιζόμενα· οἷον διαιρεῖσθαι μὲν τὸ ὕδωρ, ᾗ ὕδωρ, ἀδιαίρετον δὲ τοῦτο αὐτὸ ὑπάρχειν, ᾗ οὐσία ἐστὶν (1). Ἀλλὰ τίς οὐκ ἂν καταγελάσειε τοῦ γενναίου, οὕτω κόμψως καὶ ἀηδῶς φιλοσοφολεσχοῦντος; Τοῦτο γὰρ εἰπών τις, ἐκεῖνο λέγει τῷ ὄντι, τὰς ἐν ἀφαιρέσει νοερὰς τῶν σωμάτων οὐσίας ἀδιαιρέτους τυγχάνειν, ὃ καὶ αὐτοὶ ἀσμένως ἀποδεχόμεθα, αὐτὰ δὲ ταῦτα τὰ σώματα, ἣ φύσεως καθ' ἑαυτὰ ἔχει, διαιρετὰ εἶναι καὶ μάλα γε. Τὸ γεμὴν ἀπὸ τῶν ἐξ ἀφαιρέσεως ἐπινοουμένων ἐπὶ τὴν φύσιν κατιέναι τῶν ὄντων, καὶ σάθμην οἱονεί τινα τούτων καθιέναι τὰς ἐπιβολάς, ὡς τοιαῦτα λέγειν ἐν ἑαυτοῖς εἶναι, οἷα δὴ καὶ νοεῖται, ἐπιφορᾶς εἶδος τὸ σφαλερώτατον ἔγνωσταί τε καὶ λέλεκται. Εὖ οὖν ἔχει, ἔτι συνᾴδουσιν ἡμῖν Ἐπικούρειοι, πρὸς οὓς μάλιστα ὁ ἀγών, τὸ πρὸς διαίρεσίν τε καὶ κίνησιν εὐεπίφορον μάλα ἀσμένως ἀφοσιοῦντες τοῖς σώμασιν. Ὅτι δ' ἀνήκει τῇ ἀδρανίᾳ, ὃ θάτερον ἦν, ὧν φύσει προσεῖναι τῇ ὕλῃ δέδεικται, καὶ ταύτης πολλοὶ τῶν πάλαι καὶ νῦν οὐχ ἧττον κατεξανέστησαν. Καὶ γάρ τοι καὶ Δημόκριτος, καὶ οἱ ἀμφ' Ἐπίκουρον δραστήρια εἶναι τὰ σώματα ὑποτίθενται· καὶ Ἀριστοτέλης, καὶ οἱ περὶ αὐτὸν (2) τοῖς οὐσιώδεσι τῶν εἰδῶν, μὴ πάντῃ σωματικοῖς οὖσιν, αὐτὰ πεπλουτίκασι· καὶ οἱ ἀμφὶ τῷ νεωτέρῳ Λεϊβνιτίῳ σύμψηφοι· καὶ οἱ Πλατωνικοὶ ὡσαύτως, εἰ καὶ ἀπὸ τῶν αἰωνίων εἰδῶν τὴν ἔμφυτον τῇ ὕλῃ κατήνεγκαν δύναμιν (3). Οἱ γεμὴν Ἄραβες, καὶ πρὸ τούτων ὁ Ἀβικεβρών, οὗ μέμνηται Ἀκυνάτης (4), ἁπάσας τὰς ἐνορωμένας τοῖς σώμασιν ἐνεργείας δυνάμεως εἶναι τινὸς ἀΰλου νενομίκασι, τῆς διὰ πάντων σωμάτων διϊούσης. Τί δ' ὅτι καὶ Νεύτων τῆς τοῦ πλαστικοῦ τοῦδε πνεύματος φύσεως οὐ πάντῃ ὤφθη ἀπαρεσκόμενος (5); Ἐπὶ τούτοις δὲ καὶ αὐτοὶ ἐν τῷ Α'. μέρει (Πρ. ιγ'.) δυνάμεις τινὰς τῇ σωματικῇ ἐνεθέμεθα φύσει. Τί οὖν ῥητέον; ὅτι ἡ τῶν σωμάτων κατασκευασθεῖσα ἀδρανία ταῖς ἐπὶ τῶν αὐτῶν δυνάμεσιν οὐκ ἀντιβαίνει. Ἐκείνη γὰρ δύναμίς τις τυγχάνει οὖσα, ᾗ ἀντέχει τε καὶ ἀντεμβάλλει ταῖς ἔξωθεν ἐμβαλλούσαις δυνάμεσιν ἑαυτοῖς τὰ σώματα, δυσχερῶς ἧς ἔχουσιν ἀποκινούμενα καταστά-

(1) Σχόλ. τῆς ΙΕ'. τοῦ Α. μέρους.

(2) Ὅρα Ἀκυνά. συνόψ. θεολ. μέρ. Α'. ζητ. 115. ἄρθ. Α'.

(3) Αὐτόθι. (4) Αὐτ.

(5) Ὅρα τὰ περὶ ἀρχῆς καὶ συστάσεως τῶν Σωμάτ. Σελ. 73.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σεως, καὶ ἐν αὐτῇ ὡς ἑνὶ ἐπιμένοντα καὶ ἀντενεργοῦντα, πρὸς ὅ,τι ἂν αὐτοῖς ὁπωσοῦν ἐνεργήσειεν (1). Ἔστι τοίνυν σαφὲς, ὅτι ἡ δύναμις αὕτη ταῖς ἀνενεχθείσαις ἀνωτέρω δυνάμεσιν οὐδέν τι λυμαίνεται.

## Πρότ. ΙΑ.

„Ἥτε κρίσις καὶ ὁ συλλογισμὸς ἀντιφάσκουσι τῇ σωμάτων στερεότητι, „καὶ τῇ τούτων αὐτῶν πρὸς διαίρεσιν δεξιότητι καὶ ἀδρανίᾳ.

## Δεῖξις.

Α΄. καὶ γὰρ κρίσις καὶ συλλογισμὸς ἐνέργειαι εἰσὶν, αἷς ἰδέαι πλείους ἀλλήλαις παρατίθενται (ὁρ. δ΄. καὶ ε΄.). Καλείσθω δὴ ἡ ἐνέργεια αὕτη Α, αἱ δὲ παρατιθέμεναι ἰδέαι Β, Γ, Δ, Ε. Ἔστωσαν δὲ, εἰ δυνατὸν, αἱ ἰδέαι αὗται κινήσεις τινὲς στερεοῦ τινος ἐκτεταμένου τοῦ Η. Αὗται μὲν οὖν παρατεθεῖναι οὐκ ἔχουσιν, εἰ μὴ ἐν μιᾷ συνιοῦσαι τῇ Α, κἂν ταύτῃ ἀμοιβαδὸν παριστάμεναι, ὥσπερ δῆλον. Τοῦτο δέ τοι τελεῖται, ἢ ὅτι τοσαῦτα μόρια τοῦ στερεοῦ Η, ἅπερ ὑποκείμενα ᾖ τῶν τεττάρων ἐκείνων κινημάτων Β, Γ, Δ, Ε, εἰς ἓν συνδιαχωροῦντα συνίασιν, ἢ ὅτι μόναι αἱ ἐνέργειαι Β, Γ, Δ, Ε, ἄνευ τῶν ἰδίων ὑποκειμένων κατὰ τὸ αὐτὸ γίγνονται συῤῥυεῖσαι. Ἀλλὰ τοῦτο δὴ τὸ δεύτερον ἀδύνατον· οὐδὲ γάρ ἐστιν ὅλως διαθέσεις οὔσας ὑφιστάναι τῶν ἰδίων ἄνευ ὑποκειμένων (μέρ. Α΄. Πρ. Κϛ΄.)· λείπεται ἄρα τὸ πρότερον. Ἀλλ᾽ ἐκεῖνο τὸ φύσει προσὸν τῇ σωματικῇ φύσει στερέμνιον περιτρέπει (ὁρ. νζ΄. μέρ. Α΄.). Ἄρα ἀντιφάσκει δή που κρίσις καὶ συλλογισμὸς τῇ τοῦ σώματος στερεότητι.

Β΄. Ἔστω δὴ τὸ ὑποκείμενον, ὃ κρίνει Η, διῃρημένον κατὰ μέρη Β, Γ, Δ, Ε. Ἡ τοίνυν κρίσις Α συνεκταθήσεται δήπου ἐκείνῳ, ἢ μή. Εἰ τοῦτο, ἀναιρεθήσεται πάντως ἡ κρίσις· ἐκστήσονται γὰρ αὐτῆς δηλονότι αἱ ἰδέαι Β, Γ, Δ, Ε· τὸ πρότερον ἄρα. Τί τοίνυν; διαιρεθήσεται αὕτη εἰς μέρη, ἢ γοῦν ἀδιαίρετος παρέσται τῷ ὅλῳ διαιρεθέντι Β, Γ, Δ, Ε. Τὸ δεύτερον ὅλως ἀπερινόητον, οὐδέ γε εἰκὸς ἐκ τῶν τοιούτων φιλοσοφεῖν (αἰτ. Α΄.). Εἰ δὲ τὸ πρῶτον, πότερον ἕκαστα τὰ μέρη, οἷον π, ρ, σ, τ, περιέξει ὁλοσχερῆ τὴν παράθεσιν τῶν φαντασμάτων Β, Γ, Δ, Ε, ἢ ἕκαστον ἑκάστην; Ἐκεῖνο μὲν οὖν κατὰ τῆς ὑποθέσεως φέρεται, οὐδὲ γὰρ οὕτω διῃρημένη ἔσται ἡ κρίσις· θάτερον δὲ τὴν φύσιν ἄρδην περιτρέπει τῆς κρίσεως. Ἡ κρίσις ἄρα καὶ ὁ συλλογισμὸς, ἐπεὶ ἐπιβο-

---

(1) Ὅρα Νεύτ. ἔνθα ἀνωτ.

ΙΩΑΝΝΙΝΑ 2006

λαὶ πλειόνων εἰσὶν ἰδεῶν ἐφ' ἕν τι ἀδιαιρέτως, τῇ πρὸς διαίρεσιν τῆς ὕλης φυσικῇ δεξιότητι ἀπομάχεσθον.

Γ'. Παντί που ἔνεστιν (ὡς κατωτέρω δειχθήσεται) τὸ ἐλεύθερον, ἤτοι δύναμις τοῦ ἐνεργεῖν, ἢ παύεσθαι ἐνεργεῖν κατὰ λόγον (ὁρ. ιβ'.). Ἡ δὲ δύναμις αὕτη λόγῳ τε συνῆπται, καὶ τούτου ἤρτηται. Ὁ δὲ λόγος ἕτερον οὐδὲν, εἰμὴ δύναμίς ἐστι τοῦ κρίνειν (ὁρ. β'.). Ἐπεὶ τοίνυν ἡ ἐλευθερία ἀνατρέπει τὴν ἀδρανίαν ὡς δῆλον, ἄρα καὶ ἡ τοῦ κρίνειν δύναμις ἀνατρέπει τὸ ἀδρανές.

Παρὰ ταῦτα δὲ καὶ τῶν σωμάτων ἀδρανῶν ὄντων, σώζεται δὴ τὸ Νευτώνειον ἐκεῖνο, ὡς ἡ τῆς κινήσεως μεταβολὴ ἀνάλογόν ἐστι τῇ ἐμβαλλομένῃ κινητικῇ δυνάμει, καί γε κατ' εὐθεῖαν τελεῖται, καθ' ἣν δήπου ἡ δύναμις καὶ ἐμβάλλεται (1), κρίσει δὲ καὶ συλλογισμῷ προσαλαντευόμενον τουτὶ τὸ ἀξίωμα καθαιρεῖται. Μυρία γάρ ἐστι περὶ ὧν κρίνομεν, ὑπ' οὐδεμιᾶς ἔξωθεν δυνάμεως ὑπαγόμενοι, ἐλευθέρως τε ἔχομεν πλοκὴν ἀποδείξεων διακόπτειν, καὶ ἄλλην πάντη διαφέρουσαν πλέκειν, κἂν μυριάκις ἐθελήσαιμεν, ἀνακόψομεν δὴ καὶ ἐπαναληψόμεθα τῶν ἐννοιῶν τὴν συνάφειαν. Ἐφ' οἷς καὶ μείζονι, ἢ ἐλάσσονι προσοχῇ χρήσασθαι ἔχομεν, καὶ τὴν μὲν ἐλάσσονα ἐπιτείνειν, τὴν δὲ μείζονα ὑποχαλᾷν καὶ ὑφιέναι, καὶ ἀπὸ μὲν φαντασίας ἐπὶ τὴν νόησιν, ἐκ δὲ νοήσεως αὖθις ἐπὶ τὴν φαντασίαν μεταβαίνειν ἐφ' ἡμῖν κεῖται. Ταῦτα δὲ πάντα τῷ ἰδιώματι τοῦ σώματος καὶ τοῖς ἐξ αὐτοῦ ἑπομένοις προφανῶς τυγχάνει μαχόμενα.

## Σχόλιον.

Τὸ πρὸς διαίρεσιν εὐῆκον τοῦ σώματος, μηδαμῶς τῇ διανοούσῃ οὐσίᾳ συμπάσχειν, ἄριστα παρατετήρηται καὶ τῷ Καρτεσίῳ, τοιαῦτα λέγοντι (2). „Μεγίστην, φησὶ, τὴν διαφορὰν ἐνορῶ ψυχῆς μεταξὺ καὶ σώματος· τὸ μὲν γὰρ „φύσει ἀεὶ διαιρετὸν, ἡ δὲ πάντη ἀδιαίρετος. Ὁσάκις γὰρ ταύτην ἀναλογίζο„μαι, ἤτοι ἐμαυτὸν, ἤ τι διανοεῖν πέφυκα, οὐδὲν μέρος ἐν ἐμοὶ δύναμαι διακρί„ναι, ἓν δέ τι ἁπλοῦν καὶ ὁλοσχερὲς ἐμαυτὸν ὄντα περινοῶ. Εἰ δὲ καὶ ὅλῳ τῷ „σώματι ὅλη ἡ ψυχὴ ἡνωμένη δοκεῖ, τοῦ γε μὴν ποδὸς ἀποτμηθέντος, ἢ „τοῦ βραχίονος, ἤ τινος ἄλλου τῶν μελῶν τοῦ σώματος, οὐδέν τι ἐμοῦ ἀφῃρῆσθαι „τῆς ψυχῆς οἶδα. Οὐδὲ γὰρ αἱ δυνάμεις τοῦ βούλεσθαι, καὶ αἰσθάνεσθαι, καὶ νοεῖν,

(1) Ἀρχ. μαθ. Λήμ. Β'.

(2) Μελ. ϛ'. περὶ ἀρχ. τῆς Φιλοσ.

Ε.Υ.Δ της Κ.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

„κτ. ταύτης ἂν μέρη ῥηθεῖεν· ἔςι γὰρ ἡ αὐτὴ ψυχὴ ἡ βυλομένη, ϗ αἰσθα-
„νομένη, ϗ νοῦσα. Τὐναντίον δὲ ὐδὲν τῶν σωματικῶν, ἤτοι ἐκτεταμένων, τοιῦ-
„τον μυ τῇ διανοίᾳ παρίςαται, οἷον μὴ ῥᾳδίως ἔχειν εἰς μέρη τὐλαχιςον τῇ
„ἐπινοίᾳ διαμερίζεσθαι, ϗ κατ᾽ αὐτὸ ᾖ διαιρετὸν φύσει ἐςὶ θεωρεῖσθαι. Ἐξήρ-
„κεσεν οὖν ϗ τῦτο μόνον διδάξαι με τὴν ψυχὴν τῦ σώματος μακρῷ διαφέρειν,
„εἰμὴ πόθεν τῦτο ϗ ἄλλοθεν ἀποχρώντως εἰδείην.

## Πρότ. ΙΒ΄.

„Ἡ ἀνθρώπυ ψυχὴ οὐσία τυγχάνει ἀσώματος.

## Δεῖξις.

Τῶν διανοήσεων ἐνεργειῶν ὐσῶν (ὁρ. β΄. Σχόλ.), θετέον δὴ τύτων αὐτῶν ϗ δύναμιν τινὰ (μέρ. Α΄. Πρ. ΞΕ΄.), καὶ τῆς δυνάμεως οὐσίαν ὑποκειμένην (αὐτ. Πρ. ΞΔ΄.). Ἐὰν οὖν τὸ ὑποκείμενον τῦτο σῶμα τεθῇ, ϗ αἱ διανοήσεις ὐκ ἄλλως εἰμὴ διὰ σωματικῶν κινήσεων τελεσθήσονται (Πρ. Α΄.). Τὸ δὲ ἀδύνατον (Πρ. Η΄. ϗ Πέρ.). Ἄρ᾽ οὖν αἱ διανοήσεις ὑποκειμένυ ἔσονται τινὸς ἀσωμάτου. Τὸ δὲ ὑποκείμενον τῶν ἡμετέρων διανοήσεων ἐςὶν ἡ ψυχή (ὁρ. α΄.). Ἄρα ἡ ψυχὴ ἡ ἡμετέρα ἀσώματος.

Ἄλλως. Εἰ μὴ ἀσώματος ἡ ψυχὴ, ἔςαι ἄρα κρᾶμα φύσεως σωματικῆς ϗ ἐνύλυ, ἢ γῦν σώματος ἴδιον οὐσιῶδες. Ἀλλ᾽ ὐκ ἔςι τὸ Α΄. (Πρ. Θ΄.)· οὐδὲ γῦν τὸ Β΄. Ἐπειδὴ γὰρ αὕτη τοῖς οὐσιώδεσι τῦ σώματος ἰδίοις ἀπομάχεται, οἷον τῇ πρὸς διαίρεσιν ϗ κίνησιν τῶν μερῶν δεξιότητι, καὶ μὴν ϗ τῇ ςερεότητι, ϗ τῇ ἀδρανίᾳ (Πρ. ΙΑ΄.), δῆλον ὅτι ἡ σωματικὴ φύσις ἐκ τῶν ἄλληλα ἀναιρεῖν πεφυκότων συνέχειτ᾽ ἂν, ὅπερ ὐκ ἔςι (μέρ. Α΄. Πρ. Α΄. ϗ Β΄.). Μηδ᾽ ἐπανείποις, ὅτι λέληθεν ἡμᾶς ἡ τῦ σώματος φύσις, ὐδ᾽ ὅτι ἀποδεῖξαι ὐκ ἐξισχύομεν τὴν διανόησιν ἴδιον μὴ εἶναι ἐκείνῃ προσῆκον, ταύτην δὴ τὴν κράμβην ἕψων, ἤδη τὸ δεύτερον. Ἐφ᾽ ᾧ γὰρ δείξω ἀντιφάσκειν φερ᾽ εἰπεῖν πρὸς οἱονδηποτῦν ἕτερον σχῆμα τὸ τρίγωνον, ὐκ ἔςιν ἐπάναγκες ἁπάσας τὰς ἀμφοῖν τῶν σχημάτων εἰδέναι με ἰδιότητας· ἅλις δὲ ἕξει τὸ γινώσκειν ἐνεῖναι τῷ σχήματι, οἷον τῷ φ τὸ πάθημα χ, ὐσιῶδες, ὅπερ ἀναιρεῖ τὸ τριγώνυ ἴδιον, καθ᾽ ὃ αἱ τρεῖς τύτυ γωνίαι δυσὶν ὀρθαῖς ἶσαι ὖσαι σαφῶς ἀποδεικνυνται.

## Πόρισμα.

Τὰ οὐσιώδη τῆς ψυχῆς ἴδια πάντη τῶν οὐσιωδῶν τῦ σώματος εἰσὶ διαφέροντα, ὅπερ ἐςι τὰ ἑτερούσια ἐκ τῶν αὐτῶν ὐσιωδῶν ἰδίων ὐδαμῶς συνίςασθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΙΓ'.

„Ἡ ἀνθρώπου ψυχή, ἐν ᾧ ζῇ, διηνεκοῦς εὐμοιρεῖ ἀντιλήψεως, ὃ δῆλον
„τοῖς κατὰ τὸ πρῶτον αἴτημα φιλοσοφοῦσι.

## Δεῖξις.

Ἡ ἀνθρώπου ψυχὴ οὐσία ἐστὶ τῆς τοῦ σώματος διακεκριμένη καὶ διαφέρουσα (Πρ. ΙΒ'.), καὶ ταύτης τὰ οὐσιώδη ἴδια τῶν οὐσιωδῶν τοῦ σώματος διακεκριμένα τυγχάνει καὶ διαφέροντα (Πόρ. Πρ. ΙΒ'.). Ἄρα καὶ ἡ τῆς ψυχῆς ζωή, ἐν ᾧ ἂν ζῇ, διαφέρουσα ἔσται τῆς κοινῇ τῷ σώματι ἀπονεμομένης, ἤτοι τῆς κινήσεως καὶ ἐνεργείας τῶν σωματικῶν μορίων. Ἤδη δὲ ζωὴ πᾶσα ἐν ἀδιαλείπτῳ ἐνεργείᾳ, ἐφ' ὅσον ἂν διαρκοίη, τέθειται, ἥπου δῆλον (ὁρ. Ι'.). Οὕτω γὰρ καὶ φυτόν, καὶ πῦρ, καὶ τὰ λοιπά, ζῆν λέγειν εἰώθαμεν, ἐφ' ὅσον ὑπὸ τῆς ἐν αὐτοῖς ζωτικῆς ἐνεργείας κινεῖται. Ἆρ' οὖν καὶ ἡ καθ' ἣν λέγεται ζῆν ἡ ψυχὴ ἐνέργεια διηνεκὴς εἶναι ὀφείλει, ἐν ᾧ ζῇ. Ἡ δὲ ἐνέργεια αὕτη, ἢ κίνησις ἐστὶ σωματική, ἢ γοῦν διανόησις. Οὐδὲ γάρ ἐστιν ἡμῖν ἄλλης ἐνεργείας παρὰ ταύτας περίνοια. Ἀλλὰ κίνησις μὲν οὐκ ἂν εἴη (διὰ τὰ ἀνωτ.), διανόησις ἄρα. Τοιγαροῦν διανοήσεως εὐμοιρεῖ ἡ ψυχὴ διηνεκοῦς, καὶ ἀκαταπαύστου, καὶ ἐν ᾧ ἂν ζῇ μηδέποτε ἐκλειπούσης. Καὶ ἔστιν ἄρα φύσεως ψυχῆς ἀναγκαῖον παρακολούθημα τὸ ἐς ἀεὶ διανοεῖσθαι.

Παρὰ ταῦτα, τεθείσθω μὴ διηνεκῶς τὴν ψυχὴν διανοεῖσθαι· διανοήσεται ἄρα ἐκ διαλειμμάτων· καὶ νοοῦσα μὲν ἐν χρόνῳ τῷ Α, οὐ νοήσει ἐν χρόνῳ τῷ Β, μεταβήσεται δὲ ἄρα ἀπὸ τοῦ νοεῖν ἐπὶ τὸ μὴ νοεῖν, ἢ ἐξ αὐτῆς τῆς ἰδίας φύσεως, ἢ κατ' ἐνέργειαν τινὸς τῶν ἐκτὸς αἰτίων ἐμποδὼν ἱσταμένου. Ἀλλ' οὐκ ἔστι τὸ Α'. Ὥσπερ γὰρ οὐδὲν σῶμα φύσει τῇ οἰκείᾳ ἀπὸ κινήσεως εἰς ἠρεμίαν μεθίσταται, οὕτως οὐδ' ἄλλη τις οὐσία καθ' ἑαυτὴν ἀπὸ τῆς ἐνεργείας ἐπὶ παντελῆ ἀργείαν μεταπεσεῖται. Πᾶσα γὰρ οὐσία φύσει πρὸς ἑαυτῆς διαμονὴν σπεύδει, οὐδ' ἂν κινηθείη ποτὲ αὐτὴ πρὸς ἑαυτῆς ἀνατροπὴν καὶ ἀναίρεσιν. Ἔπειτε οὐδὲν ἐκ τῶν ἀμοιβαδὸν ἀναιρουμένων συνίσταται, παντὸς δήπου τὰ ἴδια, ἐξ ὧν τῆς ἀδιαιρέτου συναφείας τε καὶ ἑνώσεως συγκροτεῖται ἐκείνου ἡ φύσις, καὶ ὁ λόγος ὁ οὐσιώδης, φύσει πρός τε τὸ εἶναι καὶ συντηρεῖσθαι ῥέπουσι· καὶ οὐδὲν ὅλως κατ' ἰδίαν ἐνέργειαν ὄλλυται, ὅτι μὴ κατὰ πάθησιν. Τούτοις πρόσθες, ὅτι καθάπερ οὐδὲν σῶμα ἀφ' ἠρεμίας εἰς κίνησιν φύσει μεθίσταται, οὕτως οὐδὲ οὐσία τις ἀπὸ τῆς ἀργείας ἐπὶ τὴν ἐνέργειαν καθ' ἑαυτὴν μεταπέσοι ποτέ· ἐκ γὰρ τοῦ μηδενὸς μηδὲν δηλονότι τελεῖται (μέρ. Α'. Πρ. Α'.). Φύσει

ἄρα καὶ ἡ ἀνθρώπου ψυχὴ, εἰ διηνεκοῦς διανοήσεως ἐστὶν ἄμοιρος, οὐδ' ἀπὸ τοῦ Α ἐπὶ τὸ Β, οὐδὲ γοῦν ἀπὸ τοῦ Β ἐπὶ τὸ Α, ἐκ διαλειμμάτων χρόνου μεταβαίνειν δυνήσεται. Εἰ δὲ τὸ ἕτερον ἐστὶν, ἢ σώματος ἀντιθέσει τελεῖται τοῦτο, ἢ Θεοῦ ἐνεργείᾳ, ἢ ἑτέρου τινός. Ἀλλὰ σώματος μὲν οὐδαμῶς. Ἐπειδὴ γὰρ ἡ ψυχὴ ἀσώματος (Πρ. ΙΒ'.), ἡ τοῦ σώματος αὐτῇ ἐπενέργησις πάντῃ ἀπερινόητος. Ἀλλὰ σώματος παντὸς ἐνέργεια ἐν κινήσει ἤτοι θέσεως, καὶ σχήματος, καὶ τόπου μεταβολῇ ἔχει λαβοῦσα τὸ εἶναι, τὰ δὲ τοιαῦτα τῇ ψυχῇ οὐκ ἐπισυμβαίνει (διὰ τὰ ἄνωτ.), ἀπὸ ἄρα τοῦ σώματος ἡ ψυχὴ οὐκ ἂν πρὸς νόησιν ἐγερθείη. Ἐπειδὴ τοίνυν οὐδεμία ἐστὶν ὅλως τοῦ σώματος ἐπὶ τῆς ψυχῆς φυσικὴ ἐπενέργησις, ἑπόμενόν ἐστι διὰ σωματικῆς ἐπιθέσεως ἐκείνην οὐδὲ πρὸς τὸ νοεῖν ἄγεσθαι ἀνοητοῦσαν, οὐδ' ἀπὸ τοῦ νοεῖν παύεσθαι. Αὐτὸ δὴ τοῦτο ῥητέον καὶ περὶ ἄλλης οἱασοῦν σωματικῆς αἰτίας. Λείπεται τοίνυν θείᾳ μόνῃ βουλήσει τε καὶ ἰσχύϊ τουτὶ τελεῖσθαι λέγειν. Ἀλλὰ λόγος οὐδεὶς ὥσπερ ὑπὲρ ἡμῶν, οὕτως οὐδὲ καθ' ἡμῶν περὶ τούτου ὕπεστι.

## Σχόλιον.

Μέγα ἐν τοῖς καθ' ἡμᾶς φιλοσοφοῦσι περὶ τοῦ ἀδιαλείπτου τῶν ψυχικῶν διανοήσεων ἀνέφυ τὸ νεῖκος. Καὶ γὰρ ὁ Καρτέσιος οὐσίαν ψυχῆς τὴν κατ' ἐνέργειαν διανόησιν ταξάμενος, ἐν τῷ ἀδιαλείπτως νοεῖν ἐκείνης τὸ ζῆν ἔθετο. Ἀπόφησιν Ἀκυνάτης (1) τὸν ἀνθρώπου νοῦν ἀεί ποτε ἐνεργείᾳ ἔχειν, τοῦ ἀπείρου νοῦ τὸ τοιοῦτον εἶναι ὑποτιθέμενος. Ἐπεὶ δὲ ὁ αὐτὸς μηδὲν ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ, εἰμὴ διὰ τοῦ ἐνεργείᾳ ὄντος ἀνακληθῆναι δύνασθαι εἰσηγεῖτο (2), ἐπὶ τὸν ἐνεργητικὸν νοῦν δεῖν ᾤετο καταφυγεῖν. Ἀλλ' εἰ μὴ οὗτος ὁ νοῦς ἀεὶ ἐνεργείᾳ ᾖ τυγχάνων, ἐπάναγκές ἐστι καὶ ἕτερον παραλαβεῖν, καὶ ἑξῆς ἄλλον ἐπ' ἄπειρον. Ἔγνω δὴ τὸ ἑπόμενον ἄτοπον Ἀριστοτέλης· διὸ καὶ τὸν ἐνεργητικὸν νοῦν ποτὲ μὲν ἐνεργείᾳ, ποτὲ δὲ δυνάμει ἔχειν ἠρνήσατο, καὶ τούτου οὐσίαν, ἢ κατ' ἐνέργειαν ἐστὶν ὄν, ὡρίσατο (3). Εἰ γοῦν μηδαμῶς τῆς ψυχῆς ὁ κατ' ἐνέργειαν νοῦς διακέκριται, ὃ καὶ τῷ Ἀκυνάτῃ δοκεῖ, εἰ μὴ προφανεῖ ἀντιφάσει περιπεσεῖν ἕλοιτο, ἀδιάλειπτον εἶναι τὴν τῆς ψυχῆς διανόησιν ὤφειλε καθομολογῆσαι.

---

(1) Συν. θεολ. μέρ. Α. ζητ. ΟΘ'. ἄρθ. Β'.

(2) Αὐτ. ἄρθ. Γ.

(3) Γ. περὶ ψυχ. ὕφει. ΙΔ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006